activity/thinking, Παρμενίδης 7.2 *ἀλλὰ σὺ τῆσδ' ἀφ' ὁδοῦ διζήσιος εἶργε ν ό η μ α* 8.34-50 *ταὐτὸν δ' ἐστὶ νοεῖν τε καὶ οὕνεκεν ἔστι ν ό η μ α ... ἐν τῷ σοι παύω πιστὸν λόγον ἠδὲ ν ό η μ α ἀμφὶς ἀληθείης.* Πρβλ. *μέριμνα, νοῦς, νόησις, φρήν, μῆτις.*

**νόησις.** Νόηση/νοῦς, intelligence/mind, Διογένης 3.2 *οὐ γὰρ ἂν ... οἷόν τε ἦν οὕτω δεδάσθαι ἄνευ ν ο ή σ ι ο ς, ὥστε πάντων μέτρα ἔχειν* 4.3 *ἄνθρωποι γὰρ καὶ τὰ ἄλλα ζῷα ἀναπνέοντα ζώει τῷ ἀέρι. καὶ τοῦτο αὐτοῖς καὶ ψυχή ἐστι καὶ ν ό η σ ι ς* 5.1-8-21 *καί μοι δοκεῖ τὸ τὴν ν ό η σ ι ν ἔχον εἶναι ὁ ἀὴρ καλούμενος ὑπὸ τῶν ἀνθρώπων ... πολλοὶ τρόποι καὶ αὐτοῦ τοῦ ἀέρος καὶ τῆς ν ο ή σ ι ό ς εἰσιν ... τὰ ζῷα ... οὔτε ἰδέαν ἀλλήλοις ἐοικότα οὔτε δίαιταν οὔτε ν ό η σ ι ν.* || Διογένης 5.23 *ὅμως δὲ πάντα τῷ αὐτῷ καὶ ζῇ καὶ ὁρᾷ καὶ ἀκούει, καὶ τὴν ἄλλην ν ό η σ ι ν ἔχει ἀπὸ τοῦ αὐτοῦ πάντα.* Πρβλ. *νόημα, νοῦς.*

**νομίζεσθαι 1.** Συνηθίζεται/ἰσχύει ὡς ἔθος, it is customary, Ξενοφάνης 2.13 *ἀλλ' εἰκῇ μάλα τοῦτο ν ο μ ί ζ ε τ α ι* Ἡράκλειτος 14 *τὰ γὰρ ν ο μ ι ζ ό μ ε ν α κατ' ἀνθρώπους μυστήρια ἀνιερωστὶ μυεῦνται* **2.** Νομίζομαι/θεωροῦμαι, be considered, Παρμενίδης 6.8 *οἷς τὸ πέλειν τε καὶ οὐκ εἶναι ταὐτὸν ν ε ν ό μ ι σ τ α ι κοὐ ταὐτόν, πάντων δὲ παλίντροπός ἐστι κέλευθος* Ἐμπεδοκλῆς 17.22 *ἥτις καὶ θνητοῖσι ν ο μ ί ζ ε τ α ι ἔμφυτος ἄρθροις.* || **νομίζειν.** Νομίζω/πρεσβεύω, believe, Ἀναξαγόρας 17 *τὸ δὲ γίνεσθαι καὶ ἀπόλλυσθαι οὐκ ὀρθῶς ν ο μ ί ζ ο υ σ ι ν οἱ Ἕλληνες.* || **νομίζον.** Κοινὴ πεποίθηση, common conviction, Δημόκριτος 278.9 *τῷ δὲ δὴ ἀνθρώπῳ ν ο μ ί ζ ο ν ἤδη πεποίηται.*

**νόμιμον 1.** (τὸ) Δίκαιον, (the) Law, Ἐμπεδοκλῆς 135.1 *ἀλλὰ τὸ μὲν πάντων ν ό μ ι μ ο ν διά τ' εὐρυμέδοντος αἰθέρος ἠνεκέως τέταται διά τ' ἀπλέτου αὐγῆς* **2.** Νόμιμον, lawful, Δημόκριτος 174 *ὁ μὲν εὔθυμος εἰς ἔργα ἐπιφερόμενος δίκαια καὶ ν ό μ ι μ α καὶ ὕπαρ καὶ ὄναρ χαίρει τε καὶ ἔρρωται καὶ ἀνακηδής ἐστιν.*

**νόμος 1.** Νόμος, law, Ἡράκλειτος 33 *ν ό μ ο ς καὶ βουλῇ πείθεσθαι ἑνὸς* 44 *μάχεσθαι χρὴ τὸν δῆμον ὑπὲρ τοῦ ν ό μ ο υ ὅκωσπερ τείχεος* 114 *ξὺν νόῳ λέγοντας ἰσχυρίζεσθαι χρὴ τῷ ξυνῷ*

Ακαδημία Αθηνών / Academy of Athens
ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

*πάντων, ὅκωσπερ* ν ό μ ῳ *πόλις, καὶ πολὺ ἰσχυροτέρως. τρέφονται γὰρ πάντες οἱ ἀνθρώπειοι* ν ό μ ο ι *ὑπὸ ἑνὸς τοῦ θείου· κρατεῖ γὰρ τοσοῦτον ὁκόσον ἐθέλει καὶ ἐξαρκεῖ πᾶσι καὶ περιγίνεται* Δημόκριτος 47 *ν ό μ ῳ καὶ ἄρχοντι καὶ τῷ σοφωτέρῳ εἴκειν κόσμιον* 181.2-4 *κρείσσων ἐπ' ἀρετὴν φανεῖται προτροπῇ χρώμενος καὶ λόγου πειθοῖ ἤπερ ν ό μ ῳ καὶ ἀνάγκῃ. λάθρῃ μὲν γὰρ ἁμαρτέειν εἰκὸς τὸν εἰργμένον ἀδικίης ὑπὸ ν ό μ ο υ, τὸν δὲ ἐς τὸ δέον ἠγμένον πειθοῖ οὐκ εἰκὸς οὔτε λάθρῃ οὔτε φανερῶς ἔρδειν τι πλημμελὲς* 191.17 *ὁ γὰρ θαυμάζων τοὺς ἔχοντας καὶ μακαριζομένους ὑπὸ τῶν ἄλλων ἀνθρώπων καὶ τῇ μνήμῃ πᾶσαν ὥραν προσεδρεύων ἀεὶ ἐπικαινουργεῖν ἀναγκάζεται καὶ ἐπιβάλλεσθαι δι' ἐπιθυμίην τοῦ τι πρήσσειν ἀνήκεστον ὧν ν ό μ ο ι κωλύουσιν* 245 *οὐκ ἂν ἐκώλυον οἱ ν ό μ ο ι ζῆν ἕκαστον κατ' ἰδίην ἐξουσίην, εἰ μὴ ἕτερος ἕτερον ἐλυμαίνετο· φθόνος γὰρ στάσιος ἀρχὴν ἀπεργάζεται* 248 *ὁ ν ό μ ο ς βούλεται μὲν εὐεργετεῖν βίον ἀνθρώπων· δύναται δέ, ὅταν αὐτοὶ βούλωνται πάσχειν εὖ· τοῖσι γὰρ πειθομένοισι τὴν ἰδίην ἀρετὴν ἐνδείκνυται* 259.3-6 *κατὰ ν ό μ ο υ ς τοὺς πατρίους κτείνειν πολέμιον ἐν παντὶ κόσμῳ, ἐν ᾧ μὴ ν ό μ ο ς ἀπείργει· ἀπείργει δὲ ἱερὰ ἑκάστοισι ἐπιχώρια καὶ σπονδαὶ καὶ ὅρκοι* 262.3 *ὃς δ' ἂν παρὰ ν ό μ ο ν ἀπολύῃ κέρδει ὁρίζων ἢ ἡδονῇ, ἀδικεῖ, καὶ οἱ τοῦτο ἐγκάρδιον ἀνάγκη εἶναι* 264.5 *μηδέν τι μᾶλλον τοὺς ἀνθρώπους αἰδεῖσθαι ἑωυτοῦ ... ἀλλ' ἑωυτὸν μάλιστα αἰδεῖσθαι, καὶ τοῦτον ν ό μ ο ν τῇ ψυχῇ καθεστάναι, ὥστε μηδὲν ποιεῖν ἀνεπιτήδειον* **2.** Ἔθος/συνθήκη, custom/convention, Ἐμπεδοκλῆς 9.5 *οἱ δ' ὅτε μὲν κατὰ φῶτα μιγέντ' εἰς αἰθέρ' ἵ⟨κωνται⟩ (?) ἢ κατὰ θηρῶν ἀγροτέρων γένος ἢ κατὰ θάμνων ἠὲ κατ' οἰωνῶν, τότε μὲν τὸ ⟨λέγουσι⟩ γενέσθαι, εὖτε δ' ἀποκρινθῶσι, τὸ δ' αὖ δυσδαίμονα πότμον· ἣ θέμις ⟨οὐ⟩ καλέουσι, ν ό μ ῳ δ' ἐπίφημι καὶ αὐτός* Φιλόλαος 9 *φύσει καὶ οὐ ν ό μ ῳ* Δημόκριτος 9 *ν ό μ ῳ γλυκὺ ... ν ό μ ῳ πικρὸν ... ν ό μ ῳ χροιή, ἐτεῇ δὲ ἄτομα καὶ κενὸν* 125 *ν ό μ ῳ χροιή, ν ό μ ῳ γλυκύ, ν ό μ ῳ πικρόν, ἐτεῇ δ' ἄτομα καὶ κενόν.*

**νόσημα.** Νόσημα/πάθηση, disease/affliction, Δημόκριτος 281 *ὥσπερ ἐν [μὲν] τοῖς ἕλκεσι φαγέδαινα κάκιστον ν ό σ η μ α, οὕτως ἐν τοῖς χρήμασι.* Πρβλ. νόσος.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ